παρεμβάλλουσιν, ἱερῶν ἃ μὴ θέμις ὁρᾶν γίνονται θεαταί, F
τόπους ἀβάτους πατοῦσι, πράγματα καὶ λόγους βασιλι-
κοὺς ἀνερευνῶσι.

16. Καίτοι τούς γε τυράννους, οἷς ἀνάγκη πάντα γινώ-
σκειν, ἐπαχθεστάτους ποιεῖ τὸ τῶν λεγομένων ὤτων καὶ
προσαγωγέων γένος. ὠτακουστὰς μὲν οὖν πρῶτος ἔσχεν
ὁ νόθος Δαρεῖος ἀπιστῶν ἑαυτῷ καὶ πάντας ὑφορώμενος
καὶ δεδοικώς, τοὺς δὲ προσαγωγίδας | οἱ Διονύσιοι τοῖς 523
Συρακοσίοις κατέμιξαν· ὅθεν ἐν τῇ μεταβολῇ τῶν πραγμά-
των τούτους πρώτους οἱ Συρακόσιοι συλλαμβάνοντες ἀπε-
τυμπάνιζον. καὶ γὰρ τὸ τῶν συκοφαντῶν γένος ἐκ τῆς τῶν
πολυπραγμόνων φατρίας καὶ ἑστίας ἐστίν· ἀλλ' οἱ μὲν
συκοφάνται ζητοῦσιν, εἴ τις ἢ βεβούλευται κακὸν ἢ πε-
ποίηκεν, οἱ δὲ πολυπράγμονες καὶ τὰς ἀβουλήτους ἀτυχίας
τῶν πέλας ἐλέγχοντες εἰς μέσον ἐκφέρουσι. λέγεται δὲ
καὶ τὸν ἀλιτήριον ἐκ φιλοπραγμοσύνης κατονομασθῆναι
τὸ πρῶτον. λιμοῦ γὰρ ὡς ἔοικεν Ἀθηναίοις ἰσχυροῦ γενο-
μένου καὶ τῶν ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων ἀλλὰ B
κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαις ἀλούντων, περιιόντες
ἐτήρουν τῶν μύλων τὸν ψόφον, εἶτ' 'ἀλιτήριοι' προσηγο-
ρεύθησαν. ὁμοίως δὲ καὶ τῷ συκοφάντῃ τοὔνομα γενέ-
σθαι· κεκωλυμένου γὰρ ἐκφέρειν τὰ σῦκα μηνύοντες καὶ
φαίνοντες τοὺς ἐξάγοντας ἐκλήθησαν 'συκοφάνται.' καὶ